Block diagram: Possible structure for 2:16-23

Μὴ οὖν τις ὑμᾶς κρινέτω

ἐν βρώσει

⸀καὶ ἐν πόσει

ἢ ἐν μέρει ἑορτῆς ἢ νεομηνίας ἢ σαββάτων·

⸀ἅ ἐστιν σκιὰ τῶν μελλόντων,

τὸ δὲ σῶμα τοῦ Χριστοῦ.

μηδεὶς ὑμᾶς καταβραβευέτω θέλων εν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ⸀

ἃ ἑόρακεν ἐμβατεύων,

εἰκῇ φυσιούμενος

ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ,

καὶ οὐ κρατῶν τὴν κεφαλήν⸆,

ἐξ οὗ πᾶν τὸ σῶμα

διὰ τῶν ἁφῶν καὶ συνδέσμων

ἐπιχορηγούμενον

καὶ συμβιβαζόμενον

αὔξει τὴν αὔξησιν τοῦ θεοῦ.

Εἰ ⸆ ἀπεθάνετε σὺν Χριστῷ

ἀπὸ τῶν στοιχείων τοῦ κόσμου,

τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε;

μὴ ἅψῃ

μηδὲ γεύσῃ

μηδὲ θίγῃς, = ἅ ἐστιν πάντα εἰς φθορὰν τῇ ἀποχρήσει,

κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων,

ἅτινά ἐστιν λόγον μὲν ἔχοντα σοφίας

ἐν ἐθελοθρησκίᾳ

καὶ ταπεινοφροσύνῃ ⸆

[καὶ] ἀφειδίᾳ σώματος,

οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός.